μώτρια οἶδε τὰ ἀλείμματα καὶ γινώσκει πῶς δεῖ κοσμῆσαι τὰς τρίχας. ἡ οὖν μὴ δυναμένη ἀποδοῦναι αἰτίαν ῥητορικὴ ἀλλ' ἐφ' ἑκάτερα χωροῦσα ἐπί τε τὸ ἀληθὲς καὶ τὸ ψεῦδος οὐκ ἔστιν τέχνη. τέχνης γὰρ τὸ δι' ἓν τέλος ἀγαθὸν ἔχειν, ἡ δὲ ἀληθὴς ῥητορικὴ ἡ ὑπὸ τὸν πολιτικὸν τέχνη ἔστιν. ὥσπερ γὰρ ὁ λογικὸς ἰατρὸς οἶδεν, ὅτι τοῖς πυρέττουσιν αἱ ὑγραὶ διαίται συμβάλλονται, οὕτως καὶ οἱ ἐμπειρικοί, καὶ ὥσπερ ὁ λογικὸς οἶδεν, ὅτι ὁ ὀφθαλμιῶν χρῄζει ἀκρατοποσίας ἢ λουτροῦ ἢ πυρίας, οὕτω καὶ ὁ ἐμπειρικός. ἀλλ' ὁ μὲν λογικὸς καὶ τεχνίτης καὶ τὰς αἰτίας ἀποδίδωσιν, ὁ δὲ ἐμπειρικὸς οὐκ οἶδεν· οὕτως οὖν καὶ ὁ μὲν ἀληθὴς ῥήτωρ τὰς αἰτίας οἶδεν, ὁ δὲ ψευδὴς οὔ.

**4** εἰ οὖν καὶ ὁ ῥήτωρ ὁ ἀληθὴς τὰς αἰτίας οἶδεν καὶ ὁ πολιτικός, τί διαφέρουσιν ἀλλήλων; φαμὲν ὅτι διαφέρουσι, καθὸ ὁ ῥήτωρ ὠφελεῖται ἐκ τοῦ πολιτικοῦ οὐκ οἴκοθεν ἔχων τὴν γνῶσιν, ὁ γὰρ πολιτικὸς ἀκριβῶς οἶδεν καὶ κελεύει αὐτῷ· πάλιν εἴ τις εἴποι· τί οὖν διαφέρει τέχνη ἐπιστήμης, εἴ γε καὶ ἡ τέχνη τὰς αἰτίας ἀποδίδωσι, εἰπέ, ὅτι ἡ ἐπιστήμη ἀεὶ καὶ ὡσαύτως ἐχόντων πραγμάτων ποιεῖται τὰς γνώσεις, ἡ δὲ τέχνη καὶ ῥευστῶν. ἆρα οὖν ὁ φυσιόλογος οὐκ ἔστιν ἐπιστήμων ῥευστῶν ποιούμενος καὶ ἐνύλων πραγμάτων ζήτησιν; φαμὲν ὅτι καὶ ἐπιστήμων ἐστὶν οὐχ ᾗ ἐνύλων πραγμάτων ἐστὶ ζητητής, ἀλλ' ᾗ ἐπὶ τὰ καθόλου αὐτὰ ἀναφέρει καὶ ζητεῖ τῶν καθόλου φυσικῶν πραγμάτων τὴν ὑπόστασιν· ὥστε ἰστέον ὅτι τὴν ψευδῆ διαβάλλει ῥητορικήν, οὐ τὴν ἀληθῆ. ἀμέλει αὐτὸς λέξει, ὅτι ταῦτα δὲ λέγω οὐ περὶ τῆς ἀληθινῆς ῥητορικῆς· εἰ οὖν καὶ ἔσωζον οἱ περὶ Θεμιστοκλέα οὐκ ἦσαν ῥήτορες ἀληθεῖς ὡς μὴ ἄγοντες τὴν δημοκρατίαν ἐπὶ τὴν ἀριστοκρατίαν. εἰ δέ τις εἴποι, ὅτι οὐκ ἠδύναντο, αὐτὸ τοῦτο λέγει, ὅτι οὐκ ἦσαν ἀληθεῖς καὶ συνηγορεῖ ἡμῖν· ὥστε διακονικοὶ ἦσαν ἀναλογοῦντες φαρμακοπώλαις πρὸς ἰατρούς.

p. 447 c. τὸ αὐτὸν ἐρωτᾶν.

**5** ἐπιεικῶς ὁ Καλλικλῆς ἀποκρίνεται· ἵνα γὰρ μὴ δόξῃ ἀποφαίνεσθαι ὑπὲρ ἄλλου, λέγει, ὅτι καλόν ἐστιν αὐτὸν τὸν Γορ-

---

**13** mg. ἀπορία **14** mg. λύσις **20** mg. ἀπορία **22** mg. λύσις

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/24 UNIVERSITÄT LEIPZIG